13

## ΙΓ΄

Τῷ Σαλωμων ψαλμός· παράκλησις τῶν δικαίων.

1 Δεξιὰ κυρίου ἐσκέπασέν με,
δεξιὰ κυρίου ἐφείσατο ἡμῶν·
2 ὁ βραχίων κυρίου ἔσωσεν ἡμᾶς ἀπὸ ῥομφαίας διαπορευομένης,
ἀπὸ λιμοῦ καὶ θανάτου ἁμαρτωλῶν.
3 θηρία ἐπεδράμοσαν αὐτοῖς πονηρά·
ἐν τοῖς ὀδοῦσιν αὐτῶν ἐτίλλοσαν σάρκας αὐτῶν
καὶ ἐν ταῖς μύλαις ἔθλων ὀστᾶ αὐτῶν·
4 καὶ ἐκ τούτων ἁπάντων ἐρρύσατο ἡμᾶς κύριος.
5 Ἐταράχθη ὁ εὐσεβὴς διὰ τὰ παραπτώματα αὐτοῦ,
μήποτε συμπαραληφθῇ μετὰ τῶν ἁμαρτωλῶν·
6 ὅτι δεινὴ ἡ καταστροφὴ τοῦ ἁμαρτωλοῦ,
καὶ οὐχ ἅψεται δικαίου οὐδὲν ἐκ πάντων τούτων.
7 ὅτι οὐχ ὁμοία ἡ παιδεία τῶν δικαίων ἐν ἀγνοίᾳ
καὶ ἡ καταστροφὴ τῶν ἁμαρτωλῶν.
8 ἐν περιστολῇ παιδεύεται δίκαιος,
ἵνα μὴ ἐπιχαρῇ ὁ ἁμαρτωλὸς τῷ δικαίῳ·
9 ὅτι νουθετήσει δίκαιον ὡς υἱὸν ἀγαπήσεως,
καὶ ἡ παιδεία αὐτοῦ ὡς πρωτοτόκου.
10 ὅτι φείσεται κύριος τῶν ὁσίων αὐτοῦ
καὶ τὰ παραπτώματα αὐτῶν ἐξαλείψει ἐν παιδείᾳ.
11 ἡ γὰρ ζωὴ τῶν δικαίων εἰς τὸν αἰῶνα·
ἁμαρτωλοὶ δὲ ἀρθήσονται εἰς ἀπώλειαν,
καὶ οὐχ εὑρεθήσεται μνημόσυνον αὐτῶν ἔτι·
12 ἐπὶ δὲ τοὺς ὁσίους τὸ ἔλεος κυρίου,
καὶ ἐπὶ τοὺς φοβουμένους αὐτὸν τὸ ἔλεος αὐτοῦ.

14

## ΙΔ΄

Ὕμνος τῷ Σαλωμων.

1 Πιστὸς κύριος τοῖς ἀγαπῶσιν αὐτὸν ἐν ἀληθείᾳ,
τοῖς ὑπομένουσιν παιδείαν αὐτοῦ,
2 τοῖς πορευομένοις ἐν δικαιοσύνῃ προσταγμάτων αὐτοῦ,
ἐν νόμῳ, ᾧ ἐνετείλατο ἡμῖν εἰς ζωὴν ἡμῶν.
3 ὅσιοι κυρίου ζήσονται ἐν αὐτῷ εἰς τὸν αἰῶνα·
ὁ παράδεισος τοῦ κυρίου, τὰ ξύλα τῆς ζωῆς, ὅσιοι αὐτοῦ.
4 ἡ φυτεία αὐτῶν ἐρριζωμένη εἰς τὸν αἰῶνα,
οὐκ ἐκτιλήσονται πάσας τὰς ἡμέρας τοῦ οὐρανοῦ·
5 ὅτι ἡ μερὶς καὶ κληρονομία τοῦ θεοῦ ἐστιν Ισραηλ.
6 Καὶ οὐχ οὕτως οἱ ἁμαρτωλοὶ καὶ παράνομοι,

13 5[1] ευσεβης Gebh.] ασεβης Sw. = mss. | τα > Sw. || 7[2] του αμαρτωλου Sw. || 12[2] αυτον > Sw.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/487 UNIVERSITÄT LEIPZIG